ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ιερουσαλημ. [3]καὶ κρινεῖ 3
ἀνὰ μέσον λαῶν πολλῶν καὶ ἐξελέγξει ἔθνη ἰσχυρὰ ἕως εἰς γῆν
μακράν, καὶ κατακόψουσιν τὰς ῥομφαίας αὐτῶν εἰς ἄροτρα καὶ τὰ
δόρατα αὐτῶν εἰς δρέπανα, καὶ οὐκέτι μὴ ἀντάρῃ ἔθνος ἐπ' ἔθνος
ῥομφαίαν, καὶ οὐκέτι μὴ μάθωσιν πολεμεῖν. [4]καὶ ἀναπαύσεται ἕκα- 4
στος ὑποκάτω ἀμπέλου αὐτοῦ καὶ ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ,
καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν, διότι τὸ στόμα κυρίου παντοκράτορος
ἐλάλησεν ταῦτα. [5]ὅτι πάντες οἱ λαοὶ πορεύσονται ἕκαστος τὴν ὁδὸν 5
αὐτοῦ, ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι κυρίου θεοῦ ἡμῶν εἰς
τὸν αἰῶνα καὶ ἐπέκεινα. [6]ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει κύριος, συνάξω 6
τὴν συντετριμμένην καὶ τὴν ἐξωσμένην εἰσδέξομαι καὶ οὓς ἀπ-
ωσάμην· [7]καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα καὶ τὴν 7
ἀπωσμένην εἰς ἔθνος ἰσχυρόν, καὶ βασιλεύσει κύριος ἐπ' αὐτοὺς
ἐν ὄρει Σιων ἀπὸ τοῦ νῦν καὶ ἕως εἰς τὸν αἰῶνα. [8]καὶ σύ, πύργος 8
ποιμνίου αὐχμώδης, θύγατερ Σιων, ἐπὶ σὲ ἥξει καὶ εἰσελεύσεται ἡ
ἀρχὴ ἡ πρώτη, βασιλεία ἐκ Βαβυλῶνος τῇ θυγατρὶ Ιερουσαλημ.
[9]Καὶ νῦν ἵνα τί ἔγνως κακά; μὴ βασιλεὺς οὐκ ἦν σοι; ἢ ἡ βουλή 9
σου ἀπώλετο ὅτι κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης; [10]ὤδινε 10
καὶ ἀνδρίζου καὶ ἔγγιζε, θύγατερ Σιων, ὡς τίκτουσα· διότι νῦν
ἐξελεύσῃ ἐκ πόλεως καὶ κατασκηνώσεις ἐν πεδίῳ καὶ ἥξεις ἕως
Βαβυλῶνος· ἐκεῖθεν ῥύσεταί σε καὶ ἐκεῖθεν λυτρώσεταί σε κύριος
ὁ θεός σου ἐκ χειρὸς ἐχθρῶν σου. [11]καὶ νῦν ἐπισυνήχθη ἐπὶ σὲ 11
ἔθνη πολλὰ οἱ λέγοντες Ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ Σιων
οἱ ὀφθαλμοὶ ἡμῶν. [12]αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὸν λογισμὸν κυρίου 12
καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγ-
ματα ἅλωνος. [13]ἀνάστηθι καὶ ἀλόα αὐτούς, θύγατερ Σιων, ὅτι τὰ 13
κέρατά σου θήσομαι σιδηρᾶ καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς,
καὶ κατατήξεις ἐν αὐτοῖς ἔθνη καὶ λεπτυνεῖς λαοὺς πολλοὺς καὶ
ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος αὐτῶν καὶ τὴν ἰσχὺν αὐτῶν τῷ
κυρίῳ πάσης τῆς γῆς. [14]νῦν ἐμφραχθήσεται θυγάτηρ Εφραιμ ἐν 14
φραγμῷ, συνοχὴν ἔταξεν ἐφ' ἡμᾶς, ἐν ῥάβδῳ πατάξουσιν ἐπὶ σια-
γόνα τὰς φυλὰς τοῦ Ισραηλ.

2 κυριου ult.] θεου W† || 3 εξελεγξει BLC†] εξ > rel.: cf. Is. 2 4 | γην A W] > BQLC | τα δορατα BLC] τας ζιβυνας AQW: ex Is. 2 4 | ουκετι μη $1^0$ BWC] ουκετι ου μη AQL: cf. inf. | ανταρη BW(θ pro τ)†] αρη rel. | ουκετι (+ ου L†: cf. sup.) μη μαθωσιν BWLC] ου μη μαθ. ετι AQ: ex Is. 2 4 || 5 κυριου > A† || 6 λεγει κυρ./συναξω την συντετρ.] tr. A† | εξωσμενην B QW] απωσμ. ALC || 7 ισχυρον] δυνατον BW† | και ult. > B† || 9 σου ult.] σε A, σοι C† || 10 και εγγιζε] > AC†, in O sub ÷ | -σεται σε $1^0 \frown 2^0$ B*W || 11 οι $1^0$ > BV(W?)† || 12 αυτοι δε BW†] και αυτοι rel. || 13 ανα-στα AQ | και κατατηξεις εν αυτοις εθνη] > AQC, in O sub ÷ | εν αυτοις εθνη και λεπτυνεις > B† || 14 εφραιμ AQW] > BLC | εν φραγμω] εμφρ. B, + πληθος W† | ημας VC†] υμ. rel. | σιαγονας A | φυλας] πυλας B†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/519 UNIVERSITÄT LEIPZIG